p. 471 d. ἔγωγέ σε ἐπῄνεσα.

κατὰ ἀλήθειαν γὰρ ἐπῄνεσεν αὐτοῦ τὴν συνθήκην τῶν 4
λόγων καὶ τὸ ὕψος τῶν διηγηματικῶν τοῦ Ἀρχελάου λόγων· σκώπτει δὲ αὐτὸν ὡς μὴ εἰδότα διαλεχθῆναι καὶ ἀντὶ τοῦ ὡς μὴ ἐπιστάμενον διαλεκτικὴν καὶ ἀποδεικτικὴν θεωρίαν.

p. 471 d. καὶ νῦν ἄλλο τι.

ἀντὶ τοῦ ὁ λόγος ὁ ὑπὸ σοῦ νῦν ῥηθεὶς πρὸς ἄλλο τί ἐστιν 5
καὶ οὐ πρὸς τὸ ὑπὸ σοῦ ἀνωτέρω εἰρημένον, ὅτι καὶ παῖς δύναταί με ἐλέγξαι ταῦτα λέγοντα.

p. 472 a. ὁ ὑπὸ πολλῶν.

καλῶς τὸ ὑπὸ πολλῶν καὶ οὐχ ὑπὸ πάντων· οὐ δυνατὸν 6
γὰρ τελείως πάντας ψευδομαρτυρεῖν, οὐ γὰρ ἐκλέλοιπεν τὸ ἀγαθόν.

p. 472 a. ἐν τῷ Διονύσῳ.

οὕτως ἦσαν λαμπροί, ὅτι ἐν τῷ ἱερῷ ἵσταντο· θέλει οὖν 7
δεῖξαι, ὅτι ὅπως ἂν ὦσί τινες λαμπροί, οὐ δεῖ ἀβασανίστως αὐτοῖς πιστεύειν.

p. 472 b. ἡ Περικλέους ὅλη οἰκία.

οὐκ εἶπεν Περικλέα ἀλλ' ἡ Περικλέους ὅλη οἰκία, ἐπειδὴ 8
αὐτὸς ἐτεθνήκει.

p. 472 b. οὐ γάρ με συναναγκάζεις.

ἰδοὺ ἀνάγκην καλεῖ τὴν ἀποδεικτικὴν πίστιν. 9

p. 472 b. ἐκβάλλειν με ἐκ τῆς οὐσίας.

ἐπειδὴ ἐν τοῖς δικαστηρίοις περὶ οὐσιῶν καὶ χρημάτων καὶ 10
τῶν τοιούτων ἐδικάζοντο, διὰ τοῦτο εἶπεν οὐσίαν· κυρίως δὲ ὁ Σωκράτης οὐσίαν λέγει τὴν ἀλήθειαν.

p. 473 b. οὐ δῆτα, ὦ Πῶλε, ἀλλὰ ἀδύνατον.

ἐπειδὴ εἶπεν ὁ Πῶλος, ὅτι οὐ χαλεπόν ἐστι τὸ ἐλέγξαι σε, 11
ὁ Σωκράτης φησίν· ὅτι χαλεπὸν γάρ ἐστιν, ἐπειδὴ καὶ ἀδύνα-

10 ὁ **M**, om. codd. Plat. 14 Διονύσῳ **M** Διονυσίῳ codd. Plat. 21 συναναγκάζεις **M** σὺ ἀναγκάζεις codd. Plat.